# ΤΗ͂ Λ΄ ΔΕΚΕΜΒΡΙΟΥ

Ἀνυσίας ὁσιομάρτυρος τῆς ἐν Θεσσαλονίκῃ (†285-305).Λέοντος ὁσίου ἀρχιμανδρίτου, Γεδεὼν ὁσιομάρτυρος τοῦ ἐνΤυρνάβῳ (†1812).

Ἐν ταύτῃ τῇ ἡμέρᾳ ψάλλομεν καὶ τὴν Ἀκολουθίαν τῆς Ἁγίας Μελάνης, διὰ τὸ ἀποδίδοσθαι τὴν τῶν Χριστουγέννων Ἑορτὴν κατὰ τὴν λα΄.

* * * * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ἄρχεται ὁ Ἀναγνώστης ἀναγινώσκων τὸν Προοιμιακὸν Ψαλμόν, λέγων οὕτω·

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

### Ψαλμὸς ργ΄ (103).

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλῦψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει· ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας. Ἐκεῖ στρουθία

ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς. Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων. Ἐκεῖ πλοῖα διαπορεύονται· δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ. Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Δόντος σου αὐτοῖς, συλλέξουσιν. Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται. Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν.

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα. Καὶ νῦν.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄). Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Εἶτα, Συναπτὴ μεγάλη ὑπὸ τοῦ Διακόνου,
καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

* * *

Ἦχος Πα




Πα
κου ου ου σο ο ον μου ει σα κου σο ον μου ου Κυ υ υ
Βου Δι
ρι ι ι ι ε Κυ ρι ε ε κε κρα α ξα προ ος σε
Βου
ει σα α α κου σο ο ο ον μου προ σχε ς τη φω νη η
Πα Βου
η τη ης δε η σε ω ω ω ως μου εν τω κε κρα
γε ναι αι με προ ο ος σε ε ει σα α κου σο ον μου ου
Κυ υ ρι ι ε ε
Βου
Κα τευ θυν θη η τω η προ ο ο σευ χη η η
Πα
μου ως θυ μι α α α μα α ε νω πι ο ο ο
Δι
ον σου ε πα αρ σι ι ις τω ων χει ει ει ρω
Βου
ω ω ω ων μου θυ σι ι α ε ε ε σπε ρι ι ι
νη η ει σα α α α κου σο ον μου ου Κυ υ ρι ι
ε ε
Ἡ Στιχολογία.
Βου
Θου Κυ υ ρι ε φυ λα κην τω στο μα τι ι μου
και θυ υ ραν πε ρι ο χης πε ρι τα χει λη μου
Βου
Μη εκ κλι νης την καρ δι αν μου εις λο γους πο νη


ρι ι ας του προ φα σι ζεσ θαι προ φα α σεις εν α μαρ τι
ι αις
Σ υν αν θρω ποις ερ γα ζο με νοις την α νο μι ι αν
και ου μη συν δυ α σω με τα των ε κλε κτων αυ των
Π αι δε ευ σει με δι και ος εν ε λε ει και ε
λεγ ξει με ε ε λαι ον δε α μαρ τω λου μη λι πα
να α τω την κε φα λη ην μου
Ο τι ε τι και η προ σευ χη μου εν ταις ευ δο
κι αις αυ των κα τε πο θη σαν ε χο με να πε τρας οι
κρι ται αυ των
Α κου σον ται τα ρη μα τα α μου ο τι η δυν θη
σαν ω σει πα χος γης ερ ρα γη ε πι της γης δι ε
σκορ πι σθη τα ο στα αυ των πα ρα τον Α α δην
Ο τι προς σε Κυ υ ρι ε Κυ ρι ε οι ο φθαλ μοι
οι μου ε πι σοι οι ηλ πι σα μη αν τα νε λης την ψυ χη
ην μου


Φυ λα ξο ον με α πο πα γι ι δος ης συν ε
στη σαν το ο μοι και α πο σκαν δα λων των ερ γα ζο
με ε νων την α νο μι ι αν
Πε σουν ται εν αμ φι βλη στρω αυ των οι α μα ρτω
λοι κα τα μο νας ει μι ε γω ε ως αν πα ρε
ελ θω
Φω νη η μου προς Κυ ρι ον ε κε κρα ξα φω νη
η μου προς Κυ υ ρι ον ε δε η η θην
Εκ χε ω ε νω πι ον αυ του την δε η σι ιν
μου την θλι ψιν μου ε νω πι ον αυ του α παγ γε λω
Εν τω εκ λει πειν εξ ε μου το πνευ μα μου και
συ εγ νως τας τρι βους μου
Εν ο δω ταυ τη η ε πο ρευ ο ο μην ε κρυ
ψαν πα γι δα μοι
Κα τε νο ουν εις τα δε ξι α α και ε
πε βλε πον και ουκ η ην ο ε πι γι νω σκων με


Α πω λε το φυ γη η απ ε μου και ουκ ε ε
στιν ο εκ ζη των την ψυ χη ην μου
Ε κε ε κρα ξα προς σε Κυ ρι ε ει ει πα συ ει
η ελ πις μου με ρις μου ει εν γη ζω ων των
Π ρο σχες προς την δε η σι ιν μου ο ο τι ε τα
πει νω θην σφο ο δρα
Ρ υ υ σαι με εκ των κα τα δι ω κον των με ο ο
τι ε κρα ται ω θη σαν υ περ ε με
Ε ξα γα γε εκ φυ λα κης την ψυ χη ην μου του
ε ξο μο λο γη σασθαι τω ο νο μα τι ι σου
Ε με υ πο με νου σι δι και οι ε ως ου αν
τα πο δω ως μοι
Ε κ βα θε ων ε κε κρα ξα σοι Κυ ρι ε Κυ ρι
ε ει σα ακ ου σον της φω νη ης μϗ
Γ ε νη θη η τω τα ω τα σου προ σε χον τα εις την
φω νην της δε η σε ω ως μου

Εἰς τὸ Κύριε, ἐκέκραξα, ἱστῶμεν Στίχους ϛ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τῆς Ἁγίας Ἀνυσίας.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Στίχ. α΄. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Παρθενίας λαμπρότησι, φαιδρυνθεῖσα Πανεύφημε, Μαρτυρίου ἤστραψας ἀγωνίσμασι· μὴ προσκυνῆσαι ἡλίῳ γάρ, πεισθεῖσα τὴν ἄδικον, καθυπέμεινας σφαγήν, φοινιχθεῖσα τοῖς αἵμασι· καὶ παρέστηκας, τῷ Ἡλίῳ τῆς δόξης στεφηφόρος, ταῖς ἐκεῖθεν λαμπομέναις, αὐγαζομένη φαιδρότησιν.

Στίχ. β΄. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Τὸν ἐγκάρδιον ἔρωτα, ὑποφαίνουσα δάκρυσι, κατανύξει Ἔνδοξε, γῆν κατέβρεχες, καὶ ταῖς θριξὶν ἐναπέσμηχες, Χριστοῦ ὑποπόδιον, ἐννοοῦσα καὶ αὐτόν, ὡς παρόντα προβλέπουσα, ὃν ἐπόθησας· καὶ ἰχνῶν ἁπτομένη διανοίᾳ, θεωρίαις θειοτάταις, τὴν σὴν ψυχὴν κατελάμπρυνας.

Στίχ. γ΄. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Καὶ τὸν πλοῦτον σκορπίσασα, καὶ πτωχοῖς ἐπαρκέσασα, ἐνυμφεύθης ἄφθορος τῷ Ποιήσαντι, καὶ ὥσπερ προῖκα προσήγαγες, αὐτῷ πανοίδιμε, τῶν αἱμάτων τοὺς κρουνούς, καὶ τοῦ πάθους τὴν μίμησιν, οὗ ὑπέμεινεν, Ἀνυσία ὁ μόνος εἰς νυμφῶνα, κατοικίσας σε τὸν θεῖον, ὡς Ἀθληφόρον καὶ Μάρτυρα.

Στιχηρὰ τῆς Ἁγίας Μελάνης.

Στίχ. δ΄. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Ἡ ταῖς Ἀγγέλων χορείαις συναφθεῖσα, ὅτε σε ὁ ἔνθεος ἔρως ἀνέφλεξε, καὶ ὑπερίπτασθαι ἔπεισε τῶν ὁρωμένων, δι᾽ ἀπαθείας καὶ καθαρότητος· τότε σου τὸν σύνευνον, λόγοις ἐζώγρησας, θεοπειθέσι τὴν ἄστατον, ἀποβαλέσθαι, τύρβην τοῦ βίου τὴν διαῤῥέουσαν· ὅθεν σὺν τούτῳ τὴν αἰώνιον, εὗρες ζωὴν καὶ ἀπόλαυσιν, δυσωποῦσα Μελάνη, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Στίχ. ε΄. Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί.

Ἡ τῶν Ἀγγέλων ποθήσασα τὸν βίον, ὅτε τὴν ἐνήδονον τρυφὴν διέπτυσας, τῇ ἐγκρατείᾳ σχολάζουσα, καὶ ἀγρυπνίᾳ, καὶ χαμευνίᾳ, καὶ ταπεινότητι· τότε καθαρώτατον, σκεῦος γεγένησαι, Πνεύματος θείου χαρίσμασι, περιφανέσι, κεκοσμημένη πρὸ

τούτου πάνσοφε· ὅθεν πρὸς ζῆλον, σοῦ τὸν ἔνθεον, ἐφειλκύσω λαοὺς καὶ προσήγαγες, τῷ Δεσπότῃ Μελάνη, καὶ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Στίχ. ϛʹ. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Ἡ καλλοναῖς ἀρετῶν ὡραϊσμένη, ὅτε τὸν σωτήριον λόγον ἐπλήρωσας, καὶ διανείμασα δέδωκας, τὰς μυριάδας, τοῦ σοῦ χρυσίου πτωχοῖς καὶ πένησι· τότε τὸν οὐράνιον ὄλβον ἀπείληφας, δικαιοσύνην πλουτήσασα, καὶ ἀφθαρσίαν, καὶ ἀπολύτρωσιν Πανσεβάσμιε· ὅθεν τιμῶμεν σου τὴν κοίμησιν, καὶ ἐκτενῶς δυσωποῦμέν σε, ἱκετεῦσαι τὸν Κτίστην, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν.

Ἰωάννου Μοναχοῦ.

Ἦχος Πα




θαυ μα α τος ο α ο ρα τος ο ο ρα α α ται ο
α χω ω ρη το ος χω ω ρει ει ει ει ται ο α
ναρ χο ο ος αρ χε ε ται ο Υι ο ο ος του Θε ε ου
Υι ος αν θρω που γι ι ι νε ε ε ε ται και
Παρ θε νος α πει ρα αν δρος Μη η η η τη ηρ ο
ρα α α ται αι Θε ε ε ου και η Μη η η
η τηρ με τα την κυ η η σιν Παρ θε νο ος ε ευ ρι ι
ι σκε ε ε ε ται ο σαρ κω θεις Λο ο γος
του Πα α τρος εν φα α τνη η α α να κε κλι ται και Ποι
με νε ες κη ρυ υ κες κοι νω νοι του μυ στη ρι ι ου ου
γι ι ι νο ο ο ον ται Μα γοι εξ α να το ο
λων τα δω ρα α προ οσ ε ε κο ο ο μι ι ι ι
ζον υ πο α στε ε ρος ο δη γου ου ου
με ε ε ε νοι τον τε χθε ε εν τα Σω τη η ρα α
προ οσ ε κυ υ υ υ νη η η η σαν με θων και
η μεις φι λε ο ορ τοι τȣς της καρ δι α ας θη σα αυ ρους




* * *

Ἄνευ εἰσόδου· εὐθὺς ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὴν ἐπιλύχνιον εὐχαριστίαν χῦμα·

Φῶς ἱλαρὸν ἁγίας δόξης, * ἀθανάτου Πατρός, * οὐρανίου, ἁγίου, μάκαρος, * Ἰησοῦ Χριστέ, * ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, * ἰδόντες φῶς ἑσπερινόν, * ὑμνοῦμεν Πατέρα, Υἱόν, * καὶ ἅγιον Πνεῦμα, Θεόν. * Ἄξιόν σε ἐν πᾶσι καιροῖς * ὑμνεῖσθαι φωναῖς αἰσίαις, * Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· * διὸ ὁ κόσμος σὲ δοξάζει.

## ΤΟ ΠΡΟΚΕΙΜΕΝΟΝ

Ὁ διάκονος· Ἑσπέρας προκείμενον.

Καὶ ψάλλεται τὸ προκείμενον τῆς ἡμέρας.

### Τῇ Κυριακῇ ἑσπέρας.

Ἦχος Νη



πα αν τες οι δȣ ȣ λοι Κυ ρι ȣ

Στίχ. α΄. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, εν αυ λαις οι οι κȣ ȣ

Θε ου η μων

Ι δȣ ȣ δη ευ λο γει ει τε τον Κυ ρι ον

πα αν τες οι δȣ ȣ λοι Κυ ρι ȣ

Στίχ. β΄. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια

και ευ λο γει τε ε τον Κυ ρι ον

Ι δȣ ȣ δη ευ λο γει ει τε τον Κυ ρι ον

πα αν τες οι δȣ ȣ λοι Κυ ρι ι ȣ ȣ ȣ ȣ

## Τῇ Δευτέρᾳ ἑσπέρας.

Ἦχος Δι

Κ υ υ ρι ος ει σα κȣ σε ται μȣ εν τω

κε κρα γε ε ναι με προς αυ τον

Στίχ. α΄. Ἐν τῷ ἐπικαλεῖσθαι με εἰσήκουσάς μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου· ἐν θλίψει ἐπλάτυνάς με. Οἰκτείρησόν με και

ει σα κȣ σον της προ σευ χη ης μȣ

Κ υ υ ρι ος ει σα κȣ σε ται μȣ εν τω

κε κρα γε ε ναι με προς αυ τον

Στίχ. β΄. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω, ὅτι σύ, Κύριε κα τα μο νας επ ελ πι δι κα τω κι σα ας με

Κ υ υ ρι ος ει σα κȣ σε ται αι μȣ εν τω κε κρα γε ναι με προς αυ το ο ον

Τῇ Τρίτῃ ἑσπέρας.

Ἦχος Πα

Τ ο ε λε ος σȣ Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω ης μȣ

Στίχ. α΄. Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ε κει με κα τε σκη νω σεν

Τ ο ε λε ος σȣ Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω ης μȣ

Στίχ. β΄. Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου οὐ φοβηθήσομαι κακά ο τι συ υ μετ ε μȣ ȣ ȣ ει

Τ ο ε λε ος σȣ Κυ ρι ε κα τα δι ω ξει με

πα σας τας η με ρας της ζω η ης μȣ ȣ ȣ

## Τῇ Τετάρτῃ ἑσπέρας.

Ἦχος Κε

Ο Θε ος εν τω ο νο μα τι σȣ σω σον με

και εν τη δυ να μει σȣ κρι νεις με

Στίχ. α΄. Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου ε νω τι

σαι τα ρη μα τα τȣ στο μα τος μȣ

Ο Θε ος εν τω ο νο μα τι σȣ σω σον με

και εν τη δυ να μει σȣ κρι νεις με

Στίχ. β΄. Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι και ο Κυ ρι ος

αν τι λη πτωρ της ψυ χης μȣ

Ο Θε ος εν τω ο νο μα τι σȣ σω σον με

και εν τη δυ να μει σȣ κρι νεις με ε ε ε

## Τῇ Πέμπτῃ ἑσπέρας.

Ἦχος Δι

Η βο η θει α α μȣ πα ρα Κυ ρι ι ι

ȣ τȣ ποι η σαν τος τον ȣ ρα νον και την γη ην

Στίχ. α΄. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη ο θεν η ξει

η βο η θει α μȣ

Η βο η θει α α μȣ πα ρα Κυ ρι ι ι

ȣ τȣ ποι η σαν τος τον ȣ ρα νον και την γη ην

Στίχ. β΄. Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ φυ λα ξει

την ψυ χην σȣ ο Κυ ρι ος

Η βο η θει α μȣ πα ρα Κυ ρι ι ȣ τȣ

ποι η σαν τος τον ȣ ρα νο ον και τη ην γη η

ην

## Τῇ Παρασκευῇ ἑσπέρας.

Ἦχος Γα

Ο Θε ος α ντι λη πτωρ μȣ ει το ε λε

ο ος σȣ προ φθα α σει με

Στίχος α΄. Ε ξε λȣ με εκ των εχ θρων μȣ ο Θε

ος και εκ των ε πα νι στα με νων επ ε με ε λυ

τρω σαι αι με




Εὐθὺς μετὰ τὸ προκείμενο ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὸ Καταξίωσον.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·
Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.
Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.
Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.
Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Δέσποτα· συνέτισόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Ἅγιε· φώτισόν με τοῖς δικαιώμασί σου.
Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.
Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.

* * *

## ΤΑ ΠΛΗΡΩΤΙΚΑ

Εἶτα ὁ διάκονος λέγει τὰ Πληρωτικά, ὁ δὲ χορὸς ἀποκρίνεται εἰς μὲν τὰς δύο πρώτας δεήσεις διὰ τοῦ Κύριε, ἐλέησον, εἰς τὰς

ἑπομένας ἓξ διὰ τοῦ Παράσχου, Κύριε, εἰς δὲ τὴν τελευταίαν διὰ τοῦ Σοί, Κύριε.
Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.
Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Ὁ ἱερεὺς ἐκφώνως·
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.
Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν· Εἰρήνη πᾶσι.
Ὁ χορός· Καὶ τῷ πνεύματί σου.
Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.
Ὁ χορός· Σοί, Κύριε.
Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας καὶ τὴν ἐκφώνησιν·
Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.

* * *

## Ἀπόστιχα στιχηρὰ Προσόμοια τῆς Ἑορτῆς.

### Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Μάγοι ἀνατολῶν βασιλεῖς τῷ ἐκ Παρθένου Βασιλίδος ἐκλάμψαντι, ἁπάντων Θεῷ καὶ Κτίστῃ, καὶ Βασιλεῖ ἀληθεῖ, δῶρα προσκυνοῦντες προσεκόμισαν· πρὸς οὓς ἡ πανάμωμος,

ἐκπλαγεῖσα ἐφθέγγετο· Εἴπατε δή μοι, οἱ τὸ πῦρ καὶ τὸν ἥλιον, σεβαζόμενοι, καὶ ἐν σκότει βαδίζοντες, πῶς τὸν ὑπὲρ κατάληψιν, φωτίζοντα σύμπαντα, ἔγνωτε σάρκα λαβόντα, καὶ ἐν σπηλαίῳ, τικτόμενον, ἐν γῇ καὶ δι᾽ οἶκτον, παρεχόμενον τῷ κόσμῳ, τὸ μέγα ἔλεος;

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

Λόγοις ἀκολουθοῦντες ἡμεῖς, τοῦ Βαλαὰμ πρὸς τὴν Ἁγνὴν ἀπεκρίθησαν, οἱ Μάγοι, παρετηροῦμεν, ἀνατολὴν καθαροῦ, καὶ λαμπροῦ Ἀστέρος, προσγενήσεσθαι, καὶ δὴ θεασάμενοι, ἀσυνήθη φαινόμενον, τοῦτον ἀρτίως, ὑπ᾽ αὐτοῦ ὁδηγούμενοι, οὐκ ὠκνήσαμεν, τὴν πορείαν ποιήσασθαι. Τίς οὖν ὁ ταῖς ἀγκάλαις σου, ὡς βρέφος κρατούμενος; πῶς μυστηρίῳ τοιούτῳ, καθυπουργῆσαι ἠξίωσαι, σεμνὴ Παναγία; δι᾽ οὗ εὕρατο ὁ κόσμος, τὸ μέγα ἔλεος.

Στίχ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε, ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται. Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ.

Λέξω πυνθανομένοις ὑμῖν, τὰ ὑπὲρ λόγον καὶ διάνοιαν ἅπασαν, ἡ Κόρη φησὶ τοῖς Μάγοις· βλέπω γὰρ νεύσει ὑμᾶς, ἀφικέσθαι ὧδε τοῦ Παιδίου μου· Καινὰ καὶ παράδοξα, ὡς ὁρᾶτε τὰ πράγματα· ὁ γὰρ ἀχρόνως, τῷ Πατρὶ συννοούμενος, τὴν πτωχείαν μου, ἑκουσίως ἐφόρεσεν, ὅπως καταπλουτήσειε, τοὺς γνώμῃ πτωχεύσαντας, καὶ Παραδείσου τὴν θείαν, διαγωγὴν ἀπολέσαντας. Αὐτός ἐστιν οὗτος, ὁ δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα. Ὅμοιον.

Βρέφος σωματωθὲν ἐξ αὐτῆς, τὸν προαιώνιον Θεὸν ἡ Πανάμωμος, ὁρῶσα χερσὶ κρατοῦσα, καταφιλοῦσα πυκνῶς, καὶ χαρᾶς πλησθεῖσα, προσεφθέγγετο, αὐτῷ· Θεὲ ὕψιστε, Βασιλεῦ ἀθεώρητε, πῶς καθορῶ σε, καὶ νοεῖν τὸ μυστήριον, οὐ δεδύνημαι, τῆς ἀμέτρου πτωχείας σου; Σπήλαιον γὰρ σμικρότατον, καὶ τοῦτο ἀλλότριον, ἔνδον χωρεῖ σε τεχθέντα, καὶ Παρθενίαν μὴ λύσαντα, νηδὺν συντηροῦντα, ὡς πρὸ τόκου καὶ διδόντα, τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὅμοιον.

Φέρεις Ἀδαμιαίαν μορφήν, ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων προτέλειος· καὶ θέλεις χερσὶ κρατεῖσθαι, ὁ τῇ χειρὶ τοῦ παντός, περιδεδραγμένος δυναστείᾳ σου, Ἁγνὴ ἡ Πανάμωμος, Προσεφθέγγετο χαίρουσα· πῶς σε σπαργάνοις, ἐνειλήσω ὡς Νήπιον; πῶς θηλάσω σε, τὸν τὰ σύμπαντα τρέφοντα; πῶς μὴ τὴν

ὑπὲρ ἔννοιαν, πτωχείαν θαυμάσω σου; πῶς σε Υἱόν μου καλέσω, δούλη σου νῦν χρηματίζουσα; ὑμνῶ, εὐλογῶ σε, τὸν δωρούμενον τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Μετὰ τὰ ἀπόστιχα λέγεται ὑπὸ τοῦ προεστῶτος ἢ τοῦ ἱερέως ἡ Ὠδὴ Συμεὼν τοῦ θεοδόχου. (Λουκ. β΄ 29-32)

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ ἀναγνώστης τὸ τρισάγιον.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον (τρίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Τὸ ἀπολυτίκιον τῆς Χριστοῦ Γεννήσεως, ἦχος Δι






Μετὰ τὰ Ἀπολυτίκια, ἐὰν δὲν ἔγινε Εἴσοδος, ὁ ἱερεὺς τὴν Ἐκτενῆ καὶ τὴν Ἀπόλυσιν.

* * *

## Η ΑΠΟΛΥΣΙΣ

Μετὰ τὰ ἀπολυτίκια, ἐὰν μὲν προηγήθη ἀρτοκλασία·

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.
Ὁ χορός· Κύριε, ἐλέησον.
Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν·
Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ' ὑμᾶς τῇ αὐτοῦ θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.
Ὁ προεστὼς (ἢ ὁ ἀναγνώστης)·
Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ τῇ πόλει ταύτῃ εἰς αἰῶνας αἰώνων.
Ὁ χορός· Ἀμήν.

Ἐὰν δὲ δὲν προηγήθη ἀρτοκλασία·

Ὁ διάκονος· Σοφία.
Ὁ ἀναγνώστης· Εὐλόγησον.
Ὁ ἱερεύς·
Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.
Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·
Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ (ἢ μονῇ) ταύτῃ εἰς αἰῶνας αἰώνων.
Ὁ ἱερεύς· Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ὁ ἀναγνώστης· Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως Θεὸν Λόγον

τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.

Ὁ ἱερεὺς· Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ ἀναγνώστης· Δόξα. Καὶ νῦν. Κύριε, ἐλέησον γ΄. Πάτερ ἅγιε, εὐλόγησον.

Καὶ ὁ ἱερεὺς τὴν μεγάλην ἀπόλυσιν·

Ὁ ἐν σπηλαίῳ γεννηθεὶς καὶ ἐν φάτνῃ ἀνακλιθεὶς διὰ τὴν ἡμῶν σωτηρίαν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἁγίου (τοῦ ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Ὁ λαός· Ἀμήν.

* * * * *